τῷ τ' Εὐρώτᾳ δυσκλείαν,
ἃ σφάζει μὲν
τὸν πεντήκοντ' ἀροτῆρα τέκνων
Πρίαμον, ἐμέ τε μελέαν Ἑκάβαν
ἐς τάνδ' ἐξώκειλ' ἄταν.
ὤμοι θάκους οἵους θάσσω
σκηναῖς ἐφέδρους Ἀγαμεμνονίαις.
δούλα δ' ἄγομαι γραῦς ἐξ οἴκων
κουρᾷ ξυρήκει πενθήρει
κρᾶτ' ἐκπορθηθεῖσ' οἰκτρῶς.
ἀλλ', ὦ τῶν χαλκεγχέων Τρώων
ἄλοχοι μέλεαι καὶ κόραι δύσνυμφοι,
τύφεται Ἴλιον, αἰάζωμεν·
μάτηρ δ' ὡσεί τις πτανοῖς κλαγγὰν
ὄρνισιν ὅπως ἐξάρξω 'γὼ
μολπὰν οὐ τὰν αὐτὰν
οἵαν ποτὲ δὴ
σκήπτρῳ Πριάμου διερειδομένου
ποδὸς ἀρχεχόρου πλαγαῖς Φρυγίαις
εὐκόμποις ἐξῆρχον θεούς.

ΗΜΙΧΟΡΙΟΝ.

Ἑκάβη, τί θροεῖς; τί δὲ θωΰσσεις; stroph.
ποῖ λόγος ἥκει; διὰ γὰρ μελάθρων

---

133 *δυσκλείαν*] Nauck, *δύσκλειαν* libri 135 *τὸν*] *ὢν* (vel *ὧν*) *B*, *ὧν N* 136 *ἐμὲ τὰν μελέαν δ'* vel *ἐμὲ δ' αὖ μελέαν*, ceteris deletis, Lenting 137 *ἐς* hic *P* 138 *οἵους*] *οὓς P* 139 *ἐφέδρους*] Bothe, *ἔφεδρος* libri | *Ἀγαμεμνονίαις*] Valckenaer (fort. *Ἀγαμεμνονίοις*), *ἀγαμεμνονείαις OP* 140 *δοῦλ' ἄγομαι O* 141 *ξυρήκει* delet Burges | *πενθήρει O*, *πενθήρη P*, cfr. schol. *τὴν πενθίμην κεφαλήν* 142 *ἐκπορθησεῖσ' P* | *ἐκπορθεῖσ' αἰκτρῶς N*, fort. *ἐκπορθηθεῖσ' αἰκῶς* 143 *χαλκεχέων BN* 144 *καὶ* om. *N* | *δύσνυμφοι H*, *δύσνυμφαι OP* | *ἄλοχοι μέλεαι, μέλεαι κοῦραι καὶ δύσνυμφοι* Hermann, *ἄλοχοι μέλεαι καὶ δύσνυμφοι* Kirchhoff 145 *αἰάζωμεν*] Aldina, *αἰάζομεν OP* 146 sq. *μήτηρ P* | *τις* om. *O* | *ὄρνισιν ὅπως*] *ὄρνις* Dindorf | *μολμὰν BN π* super alterum *μ* scr. $B^2N$ | fort. *μάτηρ δ' ὡσεί τις πτανοῖς ὄρνις ἐξάρξω 'γὼ κλαγγὰν οὐ τὰν αὐτὰν*, cfr. schol. *καθάπερ δὲ ὄρνισιν ἡ μήτηρ ἐξάρχει τὴν πτῆσιν, οὕτως κἀγὼ τὴν κλαγγὴν καὶ τὸν θρῆνον ἐξάρξω κτέ.* 149 *οἱάν ποτε BN* | *ποτὲ* delet Hartung 150 *διερειδομένου*] Herwerden, *διερειδομένα* libri (*δ' ἐρειδομένα P*) 151 *παιδὸς O* | *ἀρχαιχόρου πληγαῖς P* | fort. *Φρυγίοις* 153 *XO.* libri, sed vid. ad v. 164 et cfr. schol. ad v. 166 *λέγει πρὸς τὰς λοιπὰς τὰς ἔσω, ἵνα τὸ ἡμιχόριον ἐξέλθῃ* et ad v. 176 *τὸ λοιπὸν ἡμιχόριον ἐξῆλθεν* 154 sq. *ποῖ*